# ΛΟΥΚΙΑ-
## ΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ ΚΑ-
## ΤΑΠΛΟΥΣ Η ΤΥ-
## ΡΑΝΝΟΣ.

ΤΟΥ ΑΥΤΟΥ ΘΕΩΝ ΕΚΚΛΗΣΙΑ.

# LVCIANI
## SAMOSATENSIS AD-
## NAVIGATIO SEV
## TYRANNVS.

Eiusdem Deorum concilium.

*Eme lector & fruere bonis auibus.*

PARISIIS
ex officina Gerardi Morrhij Campensis,
apud collegium Sorbonæ.

M. D. XXX.

# ΚΑΤΑΠΛΟΥΣ, Η ΤΥΡΑΝΝΟΣ.

ΧΑΡΩΝ.

Εἶεν ὦ Κλωθοῖ, τὸ μὲν σκάφος τοῦτο, ἡμῖν πάλαι εὐτρεπὲς, καὶ πρὸς ἀναγωγὴν εὖ μάλα παρεσκευασμένον. ὅ, τε γὰρ ἄντλος ἐκκέχυται, καὶ ὁ ἱστὸς ὤρθωται, καὶ ἡ ὀθόνη παρακέκρουσαι, καὶ τῶν κωπῶν ἑκάστη τετρόπωται. κωλύει τε οὐδὲν ὅσον ἐπ' ἐμοὶ, τὸ ἀγκύριον ἀνασπάσαντας, ἀποπλεῖν. ὁ δὲ Ἑρμῆς βραδύνει, πάλαι, παρεῖναι δέον. κενὸν γοῦν ἐπιβατῶν, ὡς ὁρᾷς, τὸ πορθμεῖον, τρὶς ἤδη τήμερον ἀναπεπλευκέναι δυνάμενον. καὶ σχεδὸν ἀμφὶ βουλυτόν ἐστιν. ἡμεῖς δὲ, οὐδέπω οὐδ' ὀβολὸν ἐμπεπολήκαμεν. εἶτα ὁ Πλούτων εὖ οἶδ' ὅτι ἐμὲ ῥαθυμεῖν ἐν τούτοις ὑπολήψεται. καὶ ταῦτα, παρ' ἄλλῳ οὔσης τῆς αἰτίας. ὁ δὲ καλὸς ἡμῖν κἀγαθὸς νεκροπομπὸς, ὥσπερ τις ἄλλος καὶ αὐτὸς ἄνω τὸ τῆς λήθης ὕδωρ πεπωκὼς, ἀναστρέψαι πρὸς ἡμᾶς ἐπιλέλησται. καὶ ἤτοι παλαίει μετὰ τῶν ἐφήβων, ἢ κιθαρίζει, ἢ λόγους

# ΘΕΩΝ ΕΚΚΛΗΣΙΑ.

## ΖΕΥΣ.

Μηκέτι τονθορύζετε ὦ θεοί, μηδὲ κα-
τὰ γωνίας συστρεφόμενοι, πρὸς οὖς
ἀλλήλοις κοινολογεῖσθε, ἀγανα-
κτοῦντες, εἰ πολλοὶ ἀνάξιοι μετέ-
χουσιν ἡμῖν τοῦ συμποσίου. ἀλλ᾽ ἐ-
πείπερ ἀποδέδοται περὶ τούτων ἐκκλησία, λεγέτω ἕκα-
στος ἐς τὸ φανερὸν τὰ δοκοῦντά οἱ, καὶ κατηγορείτω.
σὺ δὲ κήρυττε ὦ Ἑρμῆ τὸ κήρυγμα τὸ ἐκ τοῦ νόμου. Ἑρ.
ἄκουε. σίγα. τίς ἀγορεύειν βούλεται τῶν τελείων θε-
ῶν, οἷς ἔξεστιν; ἡ δὲ σκέψις, περὶ τῶν μετοίκων, καὶ ξέ-
νων. Μω. ἐγὼ ὁ Μῶμος ὦ Ζεῦ, εἴ μοι ἐπιτρέψειας
εἰπεῖν. Ζε. τὸ κήρυγμα ἤδη ἐφίησιν, ὥστε οὐδὲν
ἐμοῦ δεήσει. Μω. φημὶ τοίνυν δεινὰ ποιεῖν ἐνίους
ἡμῶν, οἷς οὐκ ἀπόχρη θεοὺς ἐξ ἀνθρώπων αὐτοὺς γε-
γενῆσθαι. ἀλλ᾽ εἰ μὴ καὶ τοὺς ἀκολούθους, καὶ θεράποντας
αὐτῶν ἰσοτίμους ἡμῖν ἀποφανοῦσιν, οὐδὲν μέγα, οὐδὲ
νεανικὸν οἴονται εἰργάσθαι. ἀξιῶ δὲ ὦ Ζεῦ, μετὰ παρ-
ρησίας μοι δοῦναι εἰπεῖν. οὐδὲ γὰρ ἂν ἄλλως δυναί-
μην. ἀλλὰ πάντες με ἴσασιν ὡς ἐλεύθερός εἰμι τὴν

γλῶτταν,